φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἐβουλήθη καὶ φεύγειν δί-
κας καὶ μὴ οὔσας διώκειν καὶ ὑπομεῖναι τοὺς ἐσχάτους
κινδύνους μᾶλλον ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν
3 πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀπο-
δείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ
πάππου ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν μηδὲν προσηκόντων
ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια, εἰ δὲ μή, τούτῳ
μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον
ἡγεῖσθαι χείρους εἶναι. ἐξ ἀρχῆς δ' ὑμᾶς περὶ αὐτῶν δι-
δάξαι πειράσομαι.

4 Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταί, Διόδοτος καὶ Διο-
γείτων ὁμοπάτριοι καὶ ὁμομήτριοι, καὶ τὴν μὲν ἀφανῆ
οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν. ἐργασα-
μένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα πείθει
αὐτὸν Διογείτων λαβεῖν τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν
αὐτῷ μόνη· καὶ γίγνονται αὐτῷ υἱεῖ δύο καὶ θυγάτηρ.
5 χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου
τῶν ὁπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα, ἀδελφιδῆν
οὖσαν, καὶ τὸν ἐκείνης μὲν πατέρα, αὑτοῦ δὲ κηδεστὴν
καὶ ἀδελφὸν [ὁμοπάτριον], πάππον δὲ τῶν παιδίων καὶ
θεῖον, ἡγούμενος διὰ ταύτας τὰς ἀναγκαιότητας οὐδενὶ
μᾶλλον προσήκειν δικαίῳ περὶ τοὺς αὑτοῦ παῖδας γενέ-
σθαι, διαθήκην αὐτῷ δίδωσι καὶ πέντε τάλαντα ἀργυ-
6 ρίου παρακαταθήκην· ναυτικὰ δὲ ἀπέδειξεν ἐκδεδομένα
ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς . . . ., δισχιλίας δὲ
ὀφειλομένας ἐν Χερρονήσῳ. ἐπέσκηψε δέ, ἐάν τι πάθῃ,
τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ καὶ τὰ ἐν τῷ δωμα-
τίῳ δοῦναι, τάλαντον δὲ τῇ θυγατρί. κατέλιπε ⟨δὲ⟩ καὶ
εἴκοσι μνᾶς τῇ γυναικὶ καὶ τριάκοντα στατῆρας Κυζικη-
7 νούς. ταῦτα δὲ πράξας καὶ οἴκοι ἀντίγραφα καταλιπὼν
ᾤχετο στρατευσόμενος μετὰ Θρασύλλου. ἀποθανόντος δὲ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/250 UNIVERSITÄT LEIPZIG